Τελῶν τὰ φοβερὰ Κοδρᾶτε θαύματα, ἀπίστους εἰς πίστιν θείαν ἐνῆγες, ὡς ἀπόστολος θεόληπτος, ὡς σεπτὸς ἱεράρχης ἱερώτατε.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐνθέοις διδαχαῖς πολλοὺς ἐφώτισας· φωτὸς γὰρ διάκονος ἀνεδείχθης, τοῦ φωτίσαντος τὰ πέρατα, ἱεράρχα Κοδρᾶτε, θείαις λάμψεσι.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μεγίστων ἀγαθῶν ὑπῆρξας πρόξενος, τῇ ποίμνῃ ἐξαίρων ταύτης τὸ σκότος, τῆς ἀγνοίας, καὶ φωτίζων αὐτήν, παραδόξων θαυμάτων ἐπιδείξεσιν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐσκήνωσεν ἐν σοὶ τὸ πῦρ τὸ ἄστεκτον, μὴ φλέξαν τὴν μήτραν σου Θεοτόκε, καὶ κατέφλεξε τὰ πάθη ἡμῶν, καὶ τὴν ὕλην τῆς πλάνης ἀπετέφρωσεν.

Κανὼν Φωκᾶ ἱερομάρτυρος, ᾠδὴ γ΄

Εὐφραίνεται ἐπὶ σοὶ

ἦχος δ΄

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ἰάσεις ἐπιτελῶν, τῇ ἐπικλήσει τοῦ Χριστοῦ ὅσιε, πλάνης ἐχθροῦ ἔσωσας, πόλεις καὶ λαοὺς θείᾳ χάριτι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ναὸς ὑπάρχων Θεοῦ, εἰδωλικοὺς μάρτυς ναοὺς ἔρριψας, τὴν παντουργὸν δύναμιν, ἔχων συνεργὸν καὶ συνέριθον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Στρατὸς ὡράθη Φωκᾶ, ἀγγελικὸς καὶ φῶς Θεοῦ ἄπλετον, δικαστικῶν θρόνων σε, ἔναντι Κυρίου δοξάζοντος.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἐκ σοῦ Θεὸς σαρκωθείς, δι᾽ εὐσπλαγχνίαν τοῖς βροτοῖς ἡνωται, καὶ τὴν ἀρὰν ἔλυσε, μόνη παντευλόγητε Δέσποινα.

Συναπτὴ

Ἔτι καὶ ἔτι…	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον…	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου…	Σοί, Κύριε.
Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν…	Ἀμήν.

Καθίσματα

Ταχὺ προκατάλαβε — ἦχος δ΄ — τοῦ ἀποστόλου

Τὸν μέγαν ἀπόστολον, καὶ ἱεράρχην Χριστοῦ, Κοδρᾶτον τὸν ἔνδοξον, ἐν θεοπνεύστοις ᾠδαῖς, πιστοὶ εὐφημήσωμεν· βρύει γὰρ ὡς ἐκ κρήνης, τοῖς ἐν πίστει αἰτοῦσιν, ἄφεσιν ἐγκλημάτων, καὶ παθῶν θεραπείαν, λαβὼν ἐκ τοῦ Ὑψίστου, τὴν χάριν τὴν ἄφθονον.

τοῦ ἱερομάρτυρος

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἡ χάρις τοῦ Πνεύματος, ἐν σοὶ σκηνώσασα, πηγήν σε ἀνέδειξε, πολλῶν χαρίτων Φωκᾶ, πλουσίως ἐκβλύζουσαν· ὅθεν καὶ τοῖς πλωτῆρσι, βοηθεῖς καθ᾽ ἑκάστην, πίστει ἐπιζητοῦσι, σὴν βοήθειαν πάτερ, σὺν τούτοις καὶ ἡμῖν, ἱλασμὸν νέμοις θεόσοφε.

Θεοτοκίον

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παρθένε πανάμωμε, τὸν ὑπερούσιον, Θεὸν ἡ κυήσασα, σὺν ἀσωμάτοις αὐτόν, ἀπαύστως ἱκέτευε, ἄφεσιν τῶν πταισμάτων, καὶ διόρθωσιν βίου, δοῦναι ἡμῖν πρὸ τέλους, τοῖς ἐν πίστει καὶ πόθῳ, ὑμνοῦσί σε κατὰ χρέος, μόνη πανύμνητε.

Κανὼν Ἀναστάσιμος, ᾠδὴ δ΄

ἦχος δ΄

«Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ σταυροῦ τὸν ἥλιον τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα. Δόξα τῇ δυνάμει σου Κύριε.»

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἀνελήλυθας τὰ πάθη μου θεραπεύσων, ἐπὶ Σταυροῦ τῷ πάθει τῆς ἀχράντου σαρκός σου, ἣν ἑκὼν ἐφόρεσας, διὸ σοι κραυγάζομεν. Δόξα τῇ δυνάμει σου Κύριε.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου.

Ἀναμαρτήτου ὁ θάνατος γεγευμένος, ζωοποιοῦ τε σώματος τοῦ σοῦ ἐπαξίως, Δέσποτα νενέκρωται, ἡμεῖς δὲ βοῶμέν σοι. Δόξα τῇ δυνάμει σου Κύριε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν, ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Κανὼν Κοδράτου ἀποστόλου, ᾠδὴ δ΄

Εἰσακήκοα Κύριε

ἦχος β΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γηπονήσας τὴν ἄρουραν τῶν καρδιῶν, δρεπάνῃ σου τῶν λόγων, τῆς κακίας ὕλην πᾶσαν ἐξέκοψας.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰαμάτων χαρίσματα, πᾶσιν ἡμῖν ὁ τάφος σου πηγάζει, ἱερὲ Κοδρᾶτε, τοὺς αἰτουμένους σε.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Συμπαθῶς ἐπικλώμενος, τῶν δυσχερῶν λυτροῦσαι καὶ κινδύνων, Ἱερὲ Κοδρᾶτε τοὺς αἰτουμένους σε.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς λαμπάσι τῶν λόγων σου, φωταγωγῶν τοὺς πλάνῃ σκοτισθέντας, φρυγανώδη πᾶσαν ἀπάτην ἔφλεξας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐξ ἁγνῶν σου σεσάρκωται, ὁ πλαστουργὸς αἱμάτων Θεοτόκε, καὶ φθαρέντας πάντας ἐκαινοποίησεν.

Κανὼν Φωκᾶ ἱερομάρτυρος, ᾠδὴ δ΄

Ἐπαρθέντα σε ἰδοῦσα

ἦχος δ΄

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Φαεινότατον ἀστέρα σὲ ἐν τῷ ὕψει, τῆς Ἐκκλησίας ἔθετο, Φωκᾶ ὁ Δεσπότης, ἄθλων ἱερώτατε, θαυμάτων τε λάμψεσι, πάντων τὰς καρδίας φωτίζοντα.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ὡμολόγησας τὴν σάρκωσιν τοῦ Δεσπότου, τυραννικοῦ πρὸ βήματος, μάρτυς ἀθλοφόρε, καὶ λαμπρῶς κατήσχυνας, Ἑλλήνων σεβάσματα, καὶ πολυθεΐας τὸ ἄθεον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Κορυφουμένην τὴν θάλασσαν τῆς ἀπάτης, πολυθεΐας λαίλαπι, θείᾳ κυβερνήσει, ἔνδοξε παρέδραμες, λιμὴν γαληνότατος, πᾶσι γεγονὼς θαλαττεύουσιν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Κανὼν Ἀναστάσιμος, ᾠδὴ ε΄

ἦχος δ΄

«Σὺ Κύριέ μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας, φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντας σε.»

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Σὺ Κύριε πρὸς γῆν, συμπαθῶς κατελήλυθας, σὺ ὕψωσας τὴν πεσοῦσαν, τῶν ἀνθρώπων οὐσίαν, ἐν ξύλῳ ἀναρτώμενος.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Σὺ ᾗράς μου Χριστέ, τῶν πταισμάτων τὸ ἔγκλημα, σὺ ἔλυσας τὰς ὀδύνας, τοῦ θανάτου οἰκτίρμον, τῇ θείᾳ ἀναστάσει σου.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ ὅπλον ἀῤῥαγές, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Κανὼν Κοδράτου ἀποστόλου, ᾠδὴ ε΄

Ὁ τοῦ φωτὸς χορηγός

ἦχος β΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν καθαράν σου ψυχήν, ὁ καθαρώτατος Θεὸς σκήνωμα, τῆς ἑαυτοῦ εὐράμενος δόξης, καθαίρει διὰ σοῦ, ψυχὰς ῥυπωθείσας, δεινοῖς παραπτώμασιν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οἱ τῶν Ἑλλήνων σοφοί, σοῦ ἡττηθέντες τοῖς σοφοῖς δόγμασιν, ὁμολογεῖν ἐπείσθησαν μάκαρ, Χριστὸν δημιουργόν, Πατρὸς προανάρχου, σοφίαν καὶ δύναμιν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑποφωνῶν ἱερῶς, τὴν γενομένην τοῖς βροτοῖς ἔλλαμψιν, ἐκ τοῦ Πατρὸς τῶν φώτων Κοδρᾶτε, ἐφώτισας λαούς, σέβειν καὶ δοξάζειν, Τριάδα ἀχώριστον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σεσαρκωμένον ἡμῖν, ἐν δύο φύσεσιν Υἱὸν τέτοκας, τὸν ἐκ Πατρὸς πρὸ πάντων αἰώνων, ἁγνὴ γεννηθέντα, ἀρρεύστως ἀχρόνως, ὡς μόνος ἐπίσταται.

Κανὼν Φωκᾶ ἱερομάρτυρος, ᾠδὴ ε΄

Σὺ Κύριέ μου φῶς

ἦχος δ΄

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Πορείας τοῦ ἐχθροῦ, προφανῶς ὑπεσκέλισας, ἰθύνων σου τὰς πορείας, πρὸ Θεοῦ θελημάτων, τὰς τρίβους ἱερώτατε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ῥηγνύμενον πληγαῖς, τὸ πολύαθλον σῶμά σου, διέρρηξεν ἀθεΐας, τοὺς δεσμοὺς θείῳ σθένει, Φωκᾶ θεομακάριστε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁλόκληρον Θεῷ προσενήνεξαι σφάγιον, πανεύφημε τῷ τυθέντι, καὶ ἐναίμους θυσίας, εἰδώλων καταπαύσαντι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Σοφίᾳ τοῦ Θεοῦ, ἑαυτῇ ᾠκοδόμησεν, ὦ Δέσποινα Θεοτόκε, ἐξ ἁγνῶν σου αἱμάτων, τὸν οἶκον ὡς ηὐδόκησεν.

Κανὼν Ἀναστάσιμος, ᾠδὴ ς΄

ἦχος δ΄

«Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι' οἴκτον, ἐκ τῆς πλευρᾶς σου ρεύσαντι αἵματι.»

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἀνῆλθες, ἐν Σταυρῷ δυναστείαν ζωσάμενος καὶ συμπλακεὶς τῷ τυράννῳ, ὡς Θεὸς ἐξ ὕψους κατέῤῥαξας, τὸν Ἀδὰμ δέ, ἀηττήτῳ, παλάμῃ ἀνέστησας.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἀνέστης, ἐξαστράπτων ὡραῖος ἐκ τάφου Χριστὲ καὶ διεσκέδασας πάντας, τοὺς ἐχθροὺς τῇ θείᾳ σου δυναστείᾳ, καὶ τὰ πάντα, ὡς Θεός, εὐφροσύνης ἐπλήρωσας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὦ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον! ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

Κανὼν Κοδράτου ἀποστόλου, ᾠδὴ ς΄

Ἐν ἀβύσσῳ πταισμάτων

ἦχος β΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑψηλὸς οὐρανὸς ἐχρημάτισας, δόξαν διηγούμενος, Θεοῦ σωτήριον, ὡς ἱεράρχης ἔνθεος, ὡς κλεινὸς σὺ Κοδρᾶτε ἀπόστολος.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μίαν φύσιν Θεότητος ἄναρχον, μίαν κυριότητα κηρύττων πάνσοφε, πολυθεΐας ἔλυσας, τὴν σκοτώδη Κοδρᾶτε ἀπόνοιαν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νόμῳ φύσεως τάφῳ τὸ σῶμά σου, μάκαρ ἱερώτατε, νῦν κατακείμενον, θαυματουργεῖ παράδοξα, ὑπὲρ φύσιν Κοδρᾶτε καὶ ἔννοιαν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Οὐρανὸν ὁ τανύσας βουλήματι, ἄλλον οὐρανὸν ἐπὶ γῆς σε ἀνέδειξε, Θεογεννῆτορ Δέσποινα, καὶ ἐκ σοῦ τοῖς ἐν σκότει ἀνέτειλεν.

Κανὼν Φωκᾶ ἱερομάρτυρος, ᾠδὴ ς΄

Θύσω σοι, μετὰ φωνῆς

ἦχος δ΄

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Θάλασσαν, ἀθεΐας ἐξήρανας πάνσοφε, πηγὴν ζωῆς ἀναβλύζων, διδαχῶν ὁσίων, νῦν δὲ θαυμάτων, ἐπομβρίαις, ἀποπλύνεις παθῶν πάντα βόρβορον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ἐπήρθης, ἐπὶ ξύλου δεινῶς σπαθιζόμενος, καὶ ἐξαρθρούμενος μάκαρ, καὶ φωνὴν ἐξ ὕψους σε δυναμοῦσαν, ἐνωτίσθης, ἱεράρχα καὶ μάρτυς πολύαθλε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τὸ πάθος, τοῦ ἀπαθοῦς Φωκᾶ μιμησάμενος, πάθη ποικίλα ἰᾶσαι, καὶ λυτροῦσαι ζάλης καὶ τρικυμίας, τοὺς πλωτῆρας, ταῖς πρὸς Θεόν σου θείαις ἐντεύξεσιν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὡς ὄμβρος, ὁ σωτήριος Λόγος κεκένωται, ἐν τῇ ἀφθόρῳ σου μήτρᾳ, Παναγία Κόρη, καὶ τῆς κακίας, τοὺς χειμάρρους, θεϊκῇ δυναστείᾳ ἐξήρανε.

Συναπτὴ

Ἔτι καὶ ἔτι…	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον…	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου…	Σοί, Κύριε.
Σὺ γὰρ εἶ ὁ βασιλεὺς…	Ἀμήν.

Κοντάκιον Ἀναστάσιμον

ἦχος δ΄

Ὁ Σωτὴρ καὶ ῥύστης μου, ἀπὸ τοῦ τάφου, ὡς Θεὸς ἀνέστησεν, ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς, καὶ πύλας ᾅδου συνέτριψε, καὶ ὡς Δεσπότης ἀνέστη τριήμερος.

Γεωργίου Πρωγάκη

Οἶκος

Τὸν ἀναστάντα ἐκ νεκρῶν Χριστὸν τὸν ζωοδότην, τριήμερον ἐκ τάφου, καὶ πύλας τοῦ θανάτου σήμερον συνθλάσαντα, τῇ δυνάμει τῇ αὐτοῦ, τὸν ᾅδην τε νεκρώσαντα, καὶ τὸ κέντρον τοῦ θανάτου συντρίψαντα, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐλευθερώσαντα, ὑμνήσωμεν

πάντες οἱ γηγενεῖς, εὐχαρίστως βοῶντες αἶνον ἐκτενῶς. Αὐτὸς γὰρ ὡς μόνος κραταιὸς Θεός, καὶ ὡς Δεσπότης ἀνέστη τριήμερος.

Συναξάριον

Τῇ κβ΄ τοῦ μηνὸς Σεπτεμβρίου, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ τοῦ θαυματουργοῦ, τοῦ ἐν λουτρῷ σφοδρῶς πυρωθέντι τελειωθέντος.

Φωκᾶ, τὸ λουτρὸν σμήγματος παντὸς δέχου.
Λουτρὸν γὰρ ἦν ἀγῶνος, οὐ καθαρσίου.
Εἰκάδι δευτερίῃ λουτρὸν πέφνεν ἔνδοθι Φωκᾶν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Φωκᾶ τοῦ κηπουροῦ.

Ἤδει χάριν σοι, σοῦ χάριν θνήσκων Λόγε,
Φωκᾶς ὁ μάρτυς τῷ διὰ ξίφους τέλει.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Ἰσαάκ, καὶ τοῦ ἁγίου Μαρτίνου.

Χριστοῦ τὸ θάρσος ἐμπνέοντος ὑψόθεν,
Πρὸς τὴν σπάθην ἔσπευδεν ἐκπνεῖν Μαρτῖνος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων εἴκοσι ἓξ ὁσιομαρτύρων Ζωγραφιτῶν, τῶν ἐλεγξάντων τοὺς λατινόφρονας Μιχαὴλ τὸν βασιλέα Παλαιολόγον Η΄ καὶ τὸν πατριάρχην Ἰωάννην τὸν Βέκκον, ἄνωθεν τοῦ πύργου πυρὶ τελειωθέντων.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Εἰς τὴν εἴσοδον τοῦ ἀρχιερέως

Κανὼν Ἀναστάσιμος, ᾠδὴ ζ΄

ἦχος δ΄

«Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι παῖδες τῇ Περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον ἢ τῇ φλογί, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε».

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Πρὸς ἀφθαρσίαν, ἡ ἀνθρωπότης ἀνακέκληται, θείῳ λουσαμένη αἵματι τοῦ Χριστοῦ, εὐχαρίστως ἀναμέλπουσα· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸ τοῦ ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Κανὼν Κοδράτου ἀποστόλου, ᾠδὴ ζ΄

Εἰκόνος χρυσῆς

ἦχος β΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑψώσας τὸν νοῦν, πρὸς τὸ πρῶτον ἀγαθὸν θεοειδέστατος, ναὸς Τριάδος ἐχρημάτισας, καὶ τοὺς ἐν βάθει κακώσεως, ὕψωσας ταῖς ὑψηλοτάταις, διδαχαῖς σου κραυγάζοντας· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Συντρίψας ναούς, τῶν εἰδώλων προσευχῶν ἀναμοχλεύσεσιν, ἀνεδομήσω θείῳ Πνεύματι, ναοὺς Θεῷ ἱερώτατε, καὶ τῶν σῳζομένων τὰ πλήθη, προσηγάγω κραυγάζοντα· Εὐλογητός εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πυρίπνοος ὤν, ὡς τοῦ Πνεύματος τὸ πῦρ τὸ θεῖον πάνσοφε, ἐν τῇ καρδίᾳ ἔχων πάντοτε, λαμπὰς ὡράθης φλογίζουσα, πᾶσαν φρυγανώδη ἀπάτην, καὶ τοὺς βοῶντας φωτίζουσα· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Λυθέντες ἀρᾶς, διὰ σοῦ προγονικῆς θεοχαρίτωτε, καλῶν αἰτίαν σε γινώσκομεν, ὡς τὸν πανταίτιον τέξασαν, Λόγον ὑπὲρ νοῦν τε καὶ λόγον· ὅθεν βοῶμέν σοι ἄχραντε· Εὐλογημένη εἶ, Θεὸν σαρκὶ κυήσασα.

Κανὼν Φωκᾶ ἱερομάρτυρος, ᾠδὴ ζ΄

Ἐν τῇ καμίνῳ

ἦχος δ΄

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Θυμὸν τυράννων, οὐκ ἐδειλίασας πάνσοφε, ποίμνης προϊστάμενος δὲ τῆς λογικῆς, ὡς ἀρνίον προσενήνεξαι, τῷ ἀρχιποίμενι, μαρτυρικῶς Φωκᾶ κλεϊζόμενος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ἐδοκιμάσθης, ὡς ἐν χωνείᾳ μάρτυς χρυσός, μέσον ἐμβληθεὶς ἀσβέστου φλογοειδοῦς, καὶ μηδόλως φλογιζόμενος· Εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ θεῖος πόθος, προσαναφλέγων τὴν καρδίαν σου, θείῳ δροσισμῷ σε ἔνδοξε συντηρεῖ, ἐν πυρὶ μὴ δαπανώμενον, τῆς ἀθεΐας δέ, ἱεράρχα τὴν ὕλην συγκαίοντα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Σεσαθρωμένον, τὸν τῆς ψυχῆς μου οἶκον πανάμωμε, κόρη μετανοίας τρόποις ὡς ἀγαθή, ἀνακαίνισον ἡ ἅπασαν, τὴν ἀνθρωπότητα, τῷ τοκετῷ σου ἀνακαινίσασα.

Κανὼν Ἀναστάσιμος, ᾠδὴ η΄

ἦχος δ΄

«Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταί, παῖδες κραυγάζοντες· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον».

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Χεῖρας ἐκπετάσας ἐν σταυρῷ, τὰ ἔθνη ἅπαντα ἐπισυνήγαγες, καὶ μίαν ἔδειξας Δέσποτα, Ἐκκλησίαν ἀνυμνοῦσάν σε, τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ, συμφώνως ψάλλουσιν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Λευχείμων ὡράθη γυναιξί, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, καταστραπτόμενος ἄγγελος. Τί τὸν ζῶντα ἐν τῷ τάφῳ βοῶν, ἐπιζητεῖτε ὡς θνητόν, ὄντως ἠγέρθη Χριστός, ᾧ βοῶμεν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ, σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρί, τοῦ ἀπροσίτου φωτός· ὅθεν πάντες σέ, εὐλογοῦμεν, Μαρία θεόνυμφε.

Κανὼν Κοδράτου ἀποστόλου, ᾠδὴ η΄

Τὸν ἐν καμίνῳ

ἦχος β΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐστηριγμένος νοητήν, ἐπὶ πέτραν τῆς ψυχῆς ἔχων τὰς βάσεις, ὑπεσκέλισας μάκαρ, τοὺς Κυρίου ἐχθρούς, καὶ πάντας Κοδρᾶτε ἐστήριξας, τοὺς ὑπερυψοῦντας, αὐτόν εἰς τοὺς αἰῶνας.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κεκοσμημένην ἀρεταῖς, κεκτημένος τὴν ψυχὴν καὶ τὴν καρδίαν, κατεκόσμησας λόγοις, διδασκαλίας ψυχάς, ἐξαίρων ἀκοσμίαν ἅπασαν, εἰδωλομανίας, εἰς πάντας τούς αἰῶνας.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς μαθητὴς τοῦ Ἰησοῦ, ὡς ἀπόστολος φαιδρός, ὡς τοῦ ἡλίου τοῦ τῆς δικαιοσύνης, φωτοφανὴς ἀστραπή, Κοδρᾶτε φωτίσας ἁγίασον, τοὺς ἐπιτελοῦντας, τὴν σὴν ἁγίαν μνήμην.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱερωτάταις σε φωναῖς, ἱερώτατοι Θεοῦ Ἁγνὴ προφῆται, ἐσομένην Μητέρα, προανεφώνουν τρανῶς, τοῦ πάντων δεσπόζοντος ἄχραντε· ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τούς αἰῶνας.

Κανὼν Φωκᾶ ἱερομάρτυρος, ᾠδὴ η΄

Χεῖρας ἐκπετάσας

ἦχος δ΄

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Χάρις σου τοῖς χείλεσι σοφέ, Φωκᾶ ἐκκέχυται· ὅθεν ἐπέστρεψας, λαὸν πλανώμενον ὄφεως, ὑποθήκαις καὶ προσήγαγες, οἷα ποιμὴν ἀληθινός, Χριστῷ κραυγάζοντα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ἀκοίμητον ἔχει σε πιστῶν, σοφὲ ὁμήγυρις πρέσβυν κοιμίζοντα, παθῶν θαλάσσης τὰ κύματα, πειρασμούς τε κατευνάζοντα, καὶ ὀδυνῶν παντοδαπῶν ἡμᾶς λυτρούμενον, τοὺς βοῶντας· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ῥεῖθρα ἰαμάτων ὁ ναός, ὁ σὸς τοῖς χρῄζουσι, πηγάζει πάντοτε, λιμὴν δεικνύμενος ἄκλυστος, καὶ παθῶν φυγαδευτήριον, τοῖς σὲ τιμῶσι, καὶ Χριστῷ μάρτυς κραυγάζουσιν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἵνα σου τιμῶμεν τὸ σεπτόν, Φωκᾶ μνημόσυνον, πανηγυρίζοντες, τὸν ὑπεράγαθον Κύριον, ἐκδυσώπει προθυμότατα, ἀπαλλαγὴν τῶν δυσχερῶν, ἡμῖν δωρήσασθαι, τοῖς βοῶσι· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Νόμου σε ἐτύπου κιβωτός, καὶ στάμνος φέρουσα, τὸ μάννα Πάναγνε, ἡ θεία τράπεζα αὖθίς τε, καὶ λυχνία χρυσαυγίζουσα, εἰς ἀποκάλυψιν ἐθνῶν τὸ φῶς κυήσασαν, τὸ φωτίζον, θεογνωσίᾳ τοῦ κόσμου τὰ πέρατα.

Κανὼν Ἀναστάσιμος, ᾠδὴ θ΄

Ἦχος δ΄

«Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας τάς διεστώσας φύσεις. Διὸ ἐπαγαλλόμενοι σὲ Θεοτόκε μεγαλύνομεν».

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ὅλον με ἀνείληφας ὅλος, ἐν συναφείᾳ ἀσυγχύτῳ, ὅλῳ μοι διδοὺς ὁ Θεός μου, τὴν σωτηρίαν διὰ τοῦ πάθους σου, ὁ ἐν σταυρῷ ὑπέμεινας, σωματικῶς δι᾽ εὐσπλαγχνίαν πολλήν.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Οἱ σοὶ μαθηταὶ καθορῶντες, ἀνεῳγμένον σου τὸν τάφον, καὶ τὰς θεοφόρους σινδόνας, κεκενωμένας τῇ Ἀναστάσει σου, σὺν τῷ ἀγγέλῳ ἔλεγον· ὄντως ἐγήγερται ὁ Κύριος!

Ἁγία Τριὰς ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Μονάδα μὲν θείας οὐσίας, ἀλλ᾽ ὑποστάσεων Τριάδα, πάντες οἱ πιστοὶ προσκυνοῦμεν, ἐν ἀσυγχύτοις ταῖς ὑποστάσεσιν, ἰσοσθενῆ ὁμότιμον, ἣν εὐσεβοῦντες μεγαλύνομεν.

Κανὼν Κοδράτου ἀποστόλου, ᾠδὴ θ΄

Τὸν ἐκ Θεοῦ Θεὸν

ἦχος β΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡραιωθεὶς διανοίᾳ, τῷ ὡραίῳ Δεσπότῃ, παρίσταται φαιδρότατος ἀεί, ὡς ἱεράρχης θεόληπτος, ὡς ἀπόστολος θεῖος, σὺν πᾶσιν ἀποστόλοις ἀληθῶς, την εἰρήνην τῷ κόσμῳ, Κοδρᾶτε ἐξαιτούμενος.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σοῦ Μαγνησία κατέχει, τῶν λειψάνων τὴν θήκην, ὡς θείαν κιβωτόν, καὶ ἐξ αὐτῆς, πᾶσαν Κοδρᾶτε ὠφέλειαν, ἀπαρύεται πόθῳ, σκηναὶ δὲ οὐρανῶν τὴν σὴν ψυχήν, κεκτημέναι σὺν πᾶσιν, ἁγίοις ἐπαγάλλονται.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ φωταυγής σου ἡμέρα, ἡ φωσφόρος σου μνήμη, ἡ ὄντως εὐκλεής σου ἑορτή, πᾶσιν ὡς ἥλιος ἔλαμψεν, ἣν πιστῶς ἐκτελοῦμεν, Κοδρᾶτε ἱλασμὸν ἁμαρτιῶν, δυσωποῦντες εὐχαῖς σου, λαβεῖν καὶ μέγα ἔλεος.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Φεῖσαί μου Κύριε φεῖσαι, ὅταν μέλλῃς με κρίνειν, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, δυσωπεῖ σε Παρθένος, ἡ σὲ κυοφορήσασα Χριστέ, ἀποστόλων ὁ δῆμος, καὶ σὺν προφήταις μάρτυρες.

Κανὼν Φωκᾶ ἱερομάρτυρος, ᾠδὴ θ΄

Λίθος ἀχειρότμητος

ἦχος δ΄

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ἱερολογίαις ἐνθέοις, τοῦ ἱεροῦ δεῦτε ποιμένος, πάντες τὴν πανίερον μνήμην, ἱερωτάτως πανηγυρίσωμεν, τὸν εὐεργέτην κύριον, ὑπὲρ ἡμῶν καθικετεύοντος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Ὤφθης πυρακτούμενος ζήλῳ, τῷ τοῦ Δεσπότου ὁπηνίκα, μάρτυς τὸ λουτρὸν ὑπεισῆλθες, ἐκκεκαυμένον, ἐν ᾧ τὸ πνεῦμά σου, Θεοῦ ἐπαγαλλόμενος, μάκαρ εἰς χεῖρας παραδέδωκας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Σὲ ἱεραρχῶν αἱ χορεῖαι, καὶ τῶν μαρτύρων αἱ ἀγέλαι, καὶ τῶν ἱερῶν ἀποστόλων, ἡ συναυλία πάντων δικαίων τε, μάρτυς Φωκᾶ τὰ πνεύματα, ἔχοντα μέσον ἐπαγάλλονται.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἥπλωται ἐν κόσμῳ ἡ μνήμη, ἡ σὴ ψυχὰς φωταγωγοῦσα, τῶν ἀνευφημούντων ἐν πίστει, τοὺς σοὺς ἀγῶνας καὶ τὰ παλαίσματα, καὶ τὴν γενναίαν ἄθλησιν, ποιμὴν καὶ μάρτυς ἀξιάγαστε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Φώτισον Ἁγνὴ τὴν ψυχήν μου, ἐσκοτισμένην ἁμαρτίᾳ, καὶ αἰωνιζούσης φλογὸς με, καὶ σκότους ῥῦσαι τῇ μεσιτείᾳ σου, ἵνα τὴν σὴν γηθόμενος, ἀνευφημῶ μεγαλειότητα.

Καταβασίαι εἰς ἑορτὰς τῆς Θεοτόκου

ἦχος δ΄

α Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

γ Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

δ Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει σου Κύριε.

ε Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

ς Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

ζ Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν· ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

η Παίδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀργαὶ	Σύντομοι
Πέτρου Λαμπαδαρίου (διασκ. Κ. Παπαγιάννη)	Ἰωάννου Πρωτοψάλτου
Πέτρου Λαμπαδαρίου (διασκ. Γ. Κουντιάδου)	Γαβριὴλ Κουντιάδου

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

∴ Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. 46-47

∴ Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. 48

∴ Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. 49-50

∴ Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. 51

∴ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. 52-53

∴ Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. 54-55

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Πέτρου τοῦ Πελοποννησίου	Κωνσταντίνου Παπαγιάννη

Καταβασία θ' ᾠδῆς

ἦχος δ'

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀύλων νόων, φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν, τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

	Ἀργὴ	Σύντομος
	Ἰωάννου Πρωτοψάλτου	Ἰωάννου Πρωτοψάλτου
	Πέτρου Λαμπαδαρίου (διασκ. Κ. Παπαγιάννη)	
	Πέτρου Λαμπαδαρίου (διασκ. Γ. Κουντιάδου)	Γαβριὴλ Κουντιάδου

Συναπτὴ

Ἔτι καὶ ἔτι... Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον... Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου... Σοί, Κύριε.
Ὅτι σὲ αἰνοῦσι... Ἀμήν.

Ἐξαποστειλάρια

ἦχος β΄

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (γ΄)
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

ἀναστάσιμον β΄

Τὸν λίθον θεωρήσασαι, ἀποκεκυλισμένον, αἱ μυροφόροι ἔχαιρον· εἶδον γὰρ νεανίσκον, καθήμενον ἐν τῷ τάφῳ, καὶ αὐτὸς ταύταις ἔφη· ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ, τοῖς μαθηταῖς· ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας, ἐκεῖ ὑμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

Πέτρου Λαμπαδαρίου	Χρυσάνθου Θεοδοσοπούλου
Κωνσταντίνου Παπαγιάννη	Ἀθανασίου Παναγιωτίδη

Ἑξαποστειλάρια τοῦ Μηναίου

Γυναῖκες ἀκουτίσθητε — ἦχος β΄ — Κοδράτου ἀποστόλου

Ὡς μάρτυς καὶ ἀπόστολος, καὶ ἱεράρχης ἔνθεος, Κοδρᾶτε μύστα τοῦ Λόγου, Χριστοῦ κηρύξας τὸ θεῖον, πανσόφως εὐαγγέλιον, πᾶσαν τὴν γῆν ἐφαίδρυνας, ἐκ πλάνης λυτρωσάμενος, τοὺς γηγενεῖς καὶ διδάσκων, τοῦ προσκυνεῖν τὴν Τριάδα.

Ὁ οὐρανὸν τοῖς ἄστροις — ἦχος γ΄ — Φωκᾶ ἱερομάρτυρος

Ἱεραρχῶν ἀκρότης, καὶ ἀθλοφόρων τὸ κλέος, Φωκᾶ καὶ μέγας προστάτης, τοῖς θαλαττεύουσι πέλων, περίσῳζε ἐκ κινδύνων, τοὺς εὐφημοῦντάς σε μάκαρ.

Ὁ οὐρανὸν τοῖς ἄστροις — ἦχος γ΄ — Θεοτοκίον

Τὸν Ποιητὴν τῶν αἰώνων, καὶ τῶν ἀγγέλων Δεσπότην, ἀποτεκοῦσα Παρθένε, τοῦτον ἱκέτευε δεῖξαι, τῆς δεξιᾶς παραστάτας, μερίδος τοὺς σοὺς οἰκέτας.

χοροστατοῦντος ἀρχιερέως — Ἦχος λ΄ ἀ Νη — π. Ἱεροθέου Ἱερομονάχου, Αθωνική Μουσική Ανθοδέσμη, Εσπερινός 1991 σ.97-99#



Αἶνοι

ἦχος δ΄

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον· αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Πέτρου Λαμπαδαρίου	Ἰακώβου Πρωτοψάλτου	Ἰωάννου Πρωτοψάλτου
Κωνσταντίνου Πρίγγου		Γαβριήλ Κουντιάδου
Ἀθανασίου Καραμάνη	Κωνσταντίνου Παπαγιάννη	Ἐλευθερίου Γεωργιάδη
Γεωργίου Πρωγάκη	☜ Τὸν δεσπότην ☞	Δημοσθένους Παϊκοπούλου
Ἄνωθεν οἱ προφῆται		

Στιχολογία

ψαλμὸς ρμη΄ 148

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ψαλμὸς ρμθ΄ 149

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.
Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Κωνσταντίνου Παπαγιάννη

Στιχηρὰ Ἀναστάσιμα

ἦχος δ΄

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.
Ὁ σταυρὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, παντοδύναμε Κύριε, δοξάζομέν σου τὴν ἀνάστασιν.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
Ἐν τῷ σταυρῷ σου Χριστέ, τῆς ἀρχαίας κατάρας ἠλευθέρωσας ἡμᾶς, καὶ ἐν τῷ θανάτῳ σου, τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας, ἐν δὲ τῇ ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας· διὸ βοῶμέν σοι, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
Τῷ σῷ σταυρῷ Χριστὲ Σωτήρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου, καὶ ῥῦσαι ἡμᾶς, τῶν παγίδων τοῦ ἐχθροῦ, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ, ἐκτείνας τὴν χεῖρά σου, φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν ἁγίων σου.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
Τῶν πατρικῶν σου κόλπων, μὴ χωρισθεὶς μονογενὲς Λόγε τοῦ Θεοῦ, ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἄνθρωπος γενόμενος ἀτρέπτως, καὶ σταυρὸν καὶ θάνατον ὑπέμεινας σαρκί, ὁ ἀπαθὴς τῇ Θεότητι, ἀναστὰς δὲ ἐκ νεκρῶν ἀθανασίαν παρέσχες τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος παντοδύναμος.

Στιχηρὰ Ἀνατολικὰ

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Θάνατον κατεδέξω σαρκί, ἡμῖν ἀθανασίαν πραγματευσάμενος Σωτήρ, καὶ ἐν τάφῳ ᾤκησας, ἵνα ἡμᾶς τοῦ ᾅδου ἐλευθερώσῃς, συναναστήσας ἑαυτῷ, παθῶν, μὲν ὡς ἄνθρωπος, ἀλλ᾽ ἀναστὰς ὡς Θεός. Διὰ τοῦτο βοῶμεν· Δόξα σοι ζωοδότα Κύριε, μόνε φιλάνθρωπε.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πέτραι ἐσχίσθησαν Σωτήρ, ὅτε ἐν τῷ Κρανίῳ ὁ σταυρός σου ἐπάγη, ἔφριξαν ᾅδου πυλωροί, ὅτε ἐν τῷ μνημείῳ ὡς θνητὸς κατετέθης· καὶ γάρ του θανάτου καταργήσας τὴν ἰσχύν, τοῖς τεθνεῶσι πάσιν ἀφθαρσίαν παρέσχες, τῇ ἀναστάσει σου Σωτήρ. Ζωοδότα Κύριε δόξα σοι.

Ἀνάστηθι, Κύριε, ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Ἐπεθύμησαν γυναῖκες, ἰδεῖν σου τὴν ἀνάστασιν, Χριστὲ ὁ Θεός· ἦλθε προλαβοῦσα Μαρία ἡ Μαγδαληνή, εὗρε τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, καὶ τὸν ἄγγελον καθεζόμενον καὶ λέγοντα· Τί ζητεῖτε τὸν ζώντα μετὰ τῶν νεκρῶν; ἀνέστη ὡς Θεός, ἵνα σώσῃ τὰ σύμπαντα.

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Ποῦ ἐστιν Ἰησοῦς, ὃν ἐλογίσασθε φυλάττειν; εἴπατε Ἰουδαῖοι, ποῦ ἐστιν, ὃν ἐθήκατε ἐν τῷ μνήματι, τὸν λίθον σφραγίσαντες, δότε τὸν νεκρόν, οἱ τὴν ζωὴν ἀρνησάμενοι, δότε τὸν ταφέντα, ἢ πιστεύσατε τῷ ἀναστάντι, κἂν ὑμεῖς σιγήσητε τοῦ Κυρίου τὴν ἔγερσιν, οἱ λίθοι κεκράξονται, μάλιστα ὁ ἀποκυλισθεὶς ἐκ τοῦ μνήματος. Μέγα σου τὸ ἔλεος! Μέγα τὸ μυστήριον τῆς οἰκονομίας σου! Σωτὴρ ἡμῶν δόξα σοι.

Πέτρου Λαμπαδαρίου	Ἰωάννου Πρωτοψάλτου	Κωνσταντίνου Πρίγγου

Ἑωθινὸν δοξαστικὸν β΄

ἦχος β΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ τὴν Μαριὰμ γυναιξί, καὶ διαπορουμέναις, πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ, ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος νεανίας, καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς. Ἠγέρθη γάρ φησιν, Ἰησοῦς ὁ Κύριος· διὸ κηρύξατε τοῖς κήρυξιν αὐτοῦ μαθηταῖς εἰς τὴν Γαλιλαίαν δραμεῖν, καὶ ὄψεσθε αὐτόν, ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ Κύριον.

Πέτρου Λαμπαδαρίου	Κωνσταντίνου Πρωτοψάλτου	Ἰωάννου Πρωτοψάλτου
Ἰωάσαφ Διονυσιάτου	Γεωργίου Ραιδεστηνοῦ	Ἀλεξάνδρου Βυζαντίου

Πέτρου Φιλανθίδου	Κωνσταντίνου Πρίγγου	Γαβριὴλ Κουντιάδου
Ἀθανασίου Παναγιωτίδη	Ἀθανασίου Καραμάνη	Κωνσταντίνου Παπαγιάννη
Ἐλευθερίου Γεωργιάδη		Κωνσταντίνου Λάμπρου

Θεοτοκίον

ἦχος β΄

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ Ἅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Πέτρου Ἐφεσίου	Κωνσταντίνου Παπαγιάννη

Δοξολογία

Δόξα σοι τῷ δείξαντι τὸ φῶς, δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. (γ΄)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι

τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός.

Ἅγιος ἰσχυρός.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Σύντομοι		Ἀργαί
Πέτρου Λαμπαδαρίου	ἦχος δ	Πέτρου Λαμπαδαρίου [ἅγια]
Μανουήλ Πρωτοψάλτου		Πέτρου Λαμπαδαρίου [λέγετος]
Κωνσταντίνου Πρωτοψάλτου		
Μιχαὴλ Χατζηαθανασίου		
Κωνσταντίνου Παπαγιάννη [ἅγια]		

Ἀναστάσιμον τροπάριον

ἦχος δ΄

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν, ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν, καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος

Πέτρου Λαμπαδαρίου	Μιχαήλ Χατζηαθανασίου	Χρήστου Τσακίρογλου
	Ι.Μ.Σίμωνος Πέτρας	

ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

Ἀμήν.

Ἦχος λ̇ π̇ ν̇η

Δημητρίου Σουρλαντζή
Θ. Λειτουργία 1992 σ.1*



ἕτερα



Τυπικά

Ἁγιορείτικης Παραδόσεως ὑπό Λυκούργου Ἀγγελοπούλου	Πατριαρχικῆς Παραδόσεως ὑπό Δημοσθένους Παϊκοπούλου

Ἀντίφωνα

ἀντίφωνον α΄ Ἦχος Δι

∴ Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. 102:1

∴ Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. 102:2

∴ Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. 102:19

∴ Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. 102:22

Πέτρου Λαμπαδαρίου Ἦχος Δι Πανδέκτη 1851 σ.26#



Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.



Συναπτὴ

Ἔτι καὶ ἔτι…	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον…	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου…	Σοί, Κύριε.
Ὅτι σὸν τὸ κράτος…	Ἀμήν.

ἀντίφωνον β′

Ἦχος Δι

∴ Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. 145:1-2

∴ Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. 145:5

∴ Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. 145:6

∴ Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. 145:10

Πέτρου Λαμπαδαρίου

Ἦχος Δι

Πανδέκτη 1851 σ.26#




στα α α ας εχ νε χρων ψαλ λον τας σοι αλ λη λου ου ι
α
Πανδέκτη, 1851 σ.11#
Δο ξα Πα τρι και Υι ω και α γι ω Πνευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Ο Μο νο γε νης Υι ος και Λο γος του Θε ου α θα
να τος υ παρ χων και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι αν σαρ κω θη ναι εκ της α
γι ας Θε ο το κου και α ει παρ θε νου Μα ρι



Συναπτὴ

Ἔτι καὶ ἔτι…	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον…	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου…	Σοί, Κύριε.
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος…	Ἀμήν.

ἀντίφωνον γ′ — ἦχος δ′

∴ Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. 117:1

∴ Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. 117:4

∴ Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. 117:24

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Πέτρου Λαμπαδαρίου	Ἰωάννου Πρωτοψάλτου	Χρυσοστόμου μοναχοῦ
Γαβριὴλ Κουντιάδου	Κωνσταντίνου Πρίγγου	Κωνσταντίνου Παπαγιάννη

Εἰσοδικὸν

ἦχος β΄

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Σύντομον (κλασικό) — π. Ἀγαθονίκου Λαζόγλου (ἀργόν)

Ἀπολυτίκια

Ἀναστάσιμον

ἦχος δ΄

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Πέτρου Λαμπαδαρίου — Ἰωάννου Πρωτοψάλτου — Χρυσοστόμου μοναχοῦ
Γαβριὴλ Κουντιάδου — Κωνσταντίνου Πρίγγου — Κωνσταντίνου Παπαγιάννη

Φωκᾶ ἱερομάρτυρος

ἦχος δ΄

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, ἱερομάρτυς Φωκᾶ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κωνσταντίνου Παπαγιάννη

τοῦ ἁγίου τοῦ ναοῦ

Κοντάκιον

ἦχος β΄

Προστασία τῶν χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε. Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Γεωργίου Πρωγάκη	Κωνσταντίνου Παπαγιάννη

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Τρισάγιος Ὕμνος

β΄		δ΄ (λέγετος)	δ΄ (φεραχνὰκ)
Γεωργίου Πρωγάκη Ι	Γαβριὴλ Κουντιάδου	Γεωργίου Καρακάση	Θρασυβούλου Στανίτσα
Γεωργίου Πρωγάκη ΙΙ	Ἱεροθέου ἱεροδιακόνου		
Κύριε σῶσον τοὺς εὐσεβεῖς καὶ ἐπάκουσον ἡμῶν.			

Ἀπόστολος

Προκείμενον. Ἦχος δ΄.
Πρόσχωμεν
∴ Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. 103:24
∴ Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. 103:1
Σοφία
Πρὸς Κορινθίους α΄ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. 16:13-24
Πρόσχωμεν
Ἀδελφοί, γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε· πάντα ὑμῶν ἐν ἀγάπῃ γενέσθω. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς Ἁγίοις ἔταξαν ἑαυτούς· ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φορτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν· ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν· ἐπιγινώσκετε οὖν τοὺς

τοιούτους. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ᾽ οἶκον αὐτῶν ἐκκλησίᾳ. Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα· Μαρὰν ἀθᾶ. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ᾽ ὑμῶν. Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

Εἰρήνη σοι.

Ἦχος Δι

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.80#





τὸ τέλος

∴ Ἔντειναι καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. 44:5

∴ Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. 44:8

Εὐαγγέλιον

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. 5:1-11

Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Τῷ καιρῷ ἐκείνῳ, ἑστὼς ὁ Ἰησοῦς παρὰ τὴν λίμνην Γεννησαρέτ, 2 εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ᾽ αὐτῶν ἀπέπλυνον τὰ δίκτυα. 3 Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους. 4 Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· Ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. 5 Καὶ

ἀποκριθεὶς ὁ Σίμων, εἶπεν αὐτῷ· Ἐπιστάτα, δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον. 6 Καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων πολύ· διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν. 7 Καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. 8 Ἰδὼν δὲ Σίμων Πέτρος, προσέπεσε τοῖς γόνασιν τοῦ Ἰησοῦ, λέγων· Ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε· 9 θάμβος γὰρ περιέσχεν αὐτὸν, καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ἧς συνέλαβον. 10 Ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. Καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς· Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. 11 Καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ.

Πέτρου Λαμπαδαρίου

Ἦχος Δι

Γεωργίου Πρωγάκη
Μουσική συλλογή
Λειτουργία 1909 σ.59/733*



Ἐκτενὴς δέησις

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν· εἴπωμεν.
Κύριε, ἐλέησον.
Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Κύριε, ἐλέησον.
Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, τῶν πρεσβυτέρων, τῶν διακόνων καὶ τῶν μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων σου, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει καὶ τῇ ἐνορίᾳ ταύτῃ, τῶν ἐπιτρόπων καὶ συνδρομητῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης, σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις αὐτῶν.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ τῶν ἁπανταχοῦ ὀρθοδόξων.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τῶν ἀπεκδεχομένων τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.
Κύριε ἐλέησον.
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Δέησις ὑπὲρ τῶν κατηχουμένων

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.
Κύριε, ἐλέησον.
Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.
Κύριε, ἐλέησον.
Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.
Κύριε, ἐλέησον.
Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.
Κύριε, ἐλέησον.
Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.
Κύριε, ἐλέησον.
Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεὸς τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.
Σοί, Κύριε.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε. Μή τις τῶν κατηχουμένων.

Λειτουργία τῶν πιστῶν

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Σοφία.
Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Σοφία!
Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Χερουβικὸν ἦχος δ΄

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν. Ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα.

413	Πέτρου Λαμπαδαρίου	511	Γαβριὴλ Κουντιάδου [ἅγια]
570	Πέτρου Ἐφεσίου	505	Γαβριὴλ Κουντιάδου [λέγετος]
453	Θεοδώρου Φωκαέως	323	Γεωργίου Καρακάση
413	Κωνσταντίνου Πρωτοψάλτου	262	Δοσιθέου Κατουνακιώτου
371	Ἰωάσαφ Διονυσιάτου	296	Δημητρίου Σουρλαντζῆ
655	Παναγιώτου Κηλτζανίδου	289	Κωνσταντίνου Παπαγιάννη
413	Ἀλεξάνδρου Βυζαντίου	280	Ἐλευθερίου Γεωργιάδη

326	Ἐμμανουήλ Φαρλέκα	362	Κωνσταντίνου Λάμπρου [ἅγια]
273	Θρασυβούλου Στανίτσα	312	Κωνσταντίνου Λάμπρου [λέγετος]

Λειτουργικά

ἅγια		λέγετος
Βασιλείου Νικολαΐδου	τὰ κατὰ παράδοσιν	Χαραλάμπους Παπανικολάου
Δημητρίου Σουρλαντζῆ		Θρασυβούλου Στανίτσα
Λυκούργου Ἀγγελόπουλου		Κωνσταντίνου Παπαγιάννη
Γεωργίου Καρακάση		Γεωργίου Καρακάση
Ἐλευθερίου Γεωργιάδη		Ἐλευθερίου Γεωργιάδη
Δημοσθένους Παϊκοπούλου		Δημοσθένους Παϊκοπούλου

Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.
Κύριε, ἐλέησον.
Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν.
Καὶ πάντων καὶ πασῶν.
Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων ὑμῶν.
Καὶ μετὰ τοῦ πνεύματός σου.
Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος δεηθῶμεν.
Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.
Παράσχου, Κύριε.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου, Κύριε.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου, Κύριε.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου, Κύριε.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου, Κύριε.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Παράσχου, Κύριε.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοί, Κύριε.
Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν·
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Εἰρήνη πᾶσι.
Καὶ τῷ πνεύματί σου.
Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Σοί, Κύριε.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Πρόσχωμεν, τὰ Ἅγια τοῖς ἁγίοις.
Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Κοινωνικὸν ἦχος δ΄

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

662	Ἰωάννου τοῦ Κλαδᾶ	422	Ἰωάννου Λαμπαδαρίου
272	Πέτρου Λαμπαδαρίου Ι	456	Ἀλεξάνδρου Βυζαντίου
313	Πέτρου Λαμπαδαρίου ΙΙ	190	Γεωργίου Καρακάση
539	Πέτρου Λαμπαδαρίου ΙΙΙ	103	Δοσιθέου Κατουνακιώτου
381	Δανιὴλ Πρωτοψάλτου	253	Δημητρίου Σουρλαντζῆ
488	Πέτρου Βυζαντίου	298	Ἀθανασίου Καραμάνη
587	Γρηγορίου Πρωτοψάλτου	313	Κωνσταντίνου Λάμπρου
450	Θεοδώρου Φωκαέως		

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

ἦχος β΄

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Μανουὴλ Πρωτοψάλτου	Γαβριὴλ Κουντιάδου
Δημητρίου Σουρλαντζῆ	Κωνσταντίνου Παπαγιάννη

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν. [Ἀμήν. Ἀμήν. Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν τὴν αἰώνιον.]
Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου· ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων [ἀθανάτων καὶ ἀχράντων] σου μυστηρίων· στήριξον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου· ἀλληλούια, ἀλληλούια, ἀλληλούια.

ἦχος β′		ἦχος πλ.α′
Ι. Μ. Βατοπαιδίου	Ι.Μ.Σίμωνος Πέτρας Ι	Ι.Μ.Σίμωνος Πέτρας ΙΙ

Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων... Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Κύριε, ἐλέησον.
Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοί Κύριε.
Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Ἐν εἰρήνῃ προέλθωμεν.
Ἐν ὀνόματι Κυρίου.
Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ἐλέησον.
Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε Κύριε καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θείᾳ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς ἄρχουσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

ἦχος β′

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (β′)
Τὸ ὄνομα Κυρίου εἴη εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Γαβριὴλ Κουντιάδου	Δημητρίου Σουρλαντζῆ

Ἀπόλυσις

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ἐλέησον.
Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Κύριε ἐλέησον. Κύριε ἐλέησον. Κύριε ἐλέησον. Εὐλόγησον πάτερ.
